# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΕΝ ΤΗ͂ ΙΕΡᾼ ΜΗΤΡΟΠΟΛΕΙ
# ΕΔΕΣΣΗΣ ΠΕΛΛΗΣ ΚΑΙ ΑΛΜΩΠΙΑΣ
# ΔΙΑΛΑΜΨΑΝΤΩΝ ΑΓΙΩΝ

## Ψαλλομένη τῇ πρώτῃ Κυριακῇ τοῦ Ὀκτωβρίου μηνός.

Ποίημα τοῦ Μητροπολίτου Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας
κ. ΙΩΗΛ

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Ἱστῶμεν στιχ. δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς
Προσόμοια τῶν Ἁγίων.

Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.

Δεῦτε φιλέορτοι πάντες,
ἐγκωμιάσωμεν,
ἐν ᾄσμασιν ἐνθέοις,
τοὺς ἐννέα Ἁγίους,
Παρθένον Ἐλεοῦσαν καὶ τὴν Χρυσῆν,
καὶ Παρθέναν πολύαθλον,
καὶ τὴν πανθαύμαστον Βάσσαν καὶ τοὺς υἱούς,
τοὺς αὐτῆς μεγαλομάρτυρας.

Τὴν ξυνωρίδα ἁγίων,
ὕμνοις τιμήσωμεν,
Καλλίνικον τὸν νέον,
Ἀρχιθύτην Ἐδέσσης,
ὁμοῦ καὶ Ἱλαρίωνα τὸν σεμνόν,
Μογλενῶν τὸν Ἐπίσκοπον,
οὗτοι γὰρ πρέσβεις ὑπὲρ ἡμῶν πρὸς Θεόν,
ἀνεδείχθησαν πιστότατοι.

Ἄνδρες Γυναῖκες παιδία,
καὶ Ἐπισκόπων δυάς,
ἐν πόλει τῆς Ἐδέσσης,
καὶ ἐν τόποις ἑτέροις,
τὴν Σύναξιν τιμήσατε τὴν ὑμῶν,
καὶ εὐλογήσατε ἅπαντας,

τοὺς ἐν ψαλμοῖς τε καὶ ὕμνοις σεμνοπρεπῶς,
ὑμῶν τὴν χάριν ἐξαγγέλλοντας.

Ἐπισκοπὴ τῆς Ἐδέσσης,
ἡ περιάκουστος,
ἀγάλλεται καὶ χαίρει,
ἐπὶ τῇ συναθροίσει,
πιστῶν εἰς τὸ ὑμνῆσαι δοξαστικῶς,
ἐννεάριθμον σύλλογον,
τῆς Ἐκκλησίας ἁγίους τοὺς θαυμαστούς,
τοῦ Χριστοῦ ἐγκαλλωπίσματα.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός.

Τοὺς Ἱεράρχας Ἱλαρίωνα καὶ Καλλίνικον,
τοὺς θεοφωτίστους ἄνδρας,
Βάσσαν καὶ τὰ τέκνα αὐτῆς,
Θέογνιν Πιστὸν καὶ Ἀγάπιον,
σὺν Χρυσῇ τῇ ἀθληφόρῳ,
καὶ Παρθέναν τὴν Ἐδεσσαίαν,
τοὺς ἀριστεῖς τῆς χάριτος,
καὶ ὑπὲρ τούτους,
τὴν Πάναγνον Παρθένον τὴν Ἐλεοῦσαν,
συνελθόντες σήμερον,
ἐγκωμιάσωμεν λέγοντες·
Χαίρετε Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας,
οἱ φρουροὶ καὶ Προστάται,
οἱ διδάσκαλοι τῆς εὐσεβείας,
καὶ κήρυκες τῆς πίστεως,
οἱ πρεσβεύοντες ἀπαύστως,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Ἦχος ὁ αὐτός.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη,
καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα,
πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου,
σωθῆναι ἡμᾶς,
Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.
Ἅγιοι τοῦ Θεοῦ,
παμμάκαρ Ἱλαρίων,
σὺν Καλλινίκῳ Νέῳ,
εὐχαῖς ὑμῶν τὴν ποίμνην,
ἐκ βλάβης διασώσατε.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὤφθης Βάσσα τριῶν,
υἱῶν σου στεφηφόρων,
ὑπογραμμὸς καὶ τύπος,
νικητικῶς σὺν τούτοις,
ἀθλήσασα πανόλβιε.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Νύμφη σὺ τοῦ Χριστοῦ,
Παρθένα ἀνεδείχθης,
καὶ ἡ Χρυσῆ ὁμοίως,
ἀθλήσασαι γενναίως,
καὶ τὸν ἐχθρὸν νικήσασαι.

Δόξα Πατρί. Τριαδικόν.

Δέξαι ἡμῶν ᾠδήν,
Τρισήλιε Θεότης,
Πατὴρ Υἱὸς καὶ Πνεῦμα,
καὶ δὸς τῇ Οἰκουμένῃ,
τὴν σὴν εἰρήνην Δέσποτα.

Καὶ νῦν. Θεοτοκίον.

Ἔχοντες τὴν σεπτήν,
εἰκόνα σου Παρθένε,
Κυρία Ἐλεοῦσα,
λαμβάνομεν τὸ πλῆθος,
τῶν δωρεῶν σου Δέσποινα.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον,
τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ
καὶ Ἀπόλυσις.

## ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Είς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄, δ΄ τοῦ
τυχόντος Ἀναστασίμου ἤχου καὶ στ΄ τῶν ἁγίων τῆς Ἐδέσσης.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐλεοῦσα Πανάχραντε,
τὴν ἁγίαν εἰκόνα σου,
γεγηθότες σήμερον ἀσπαζόμεθα.
καὶ ἐξαιτοῦμεν οἱ δοῦλοί σου˙
λιταῖς σου χορήγησον,
τὴν εἰρήνην τῆς ψυχῆς,
καὶ ὑγείαν τοῦ σώματος,
σὺ γὰρ πέφηνας,
ἰατρεῖον ἁπάντων τῶν ἐν νόσοις,
καὶ δοχεῖον ἰαμάτων,
τοῖς ἀλγουμένοις καὶ κάμνουσι.

Μογλενῶν τὸν Ἐπίσκοπον,
Ἐκκλησίας ἀγλάϊσμα,
μοναστῶν προσθήκην καὶ ἐγκαλλώπισμα,
τὸν Ἱλαρίωνα μέλψωμεν,
καὶ πάντες βοήσωμεν,
τὴν ἁγίαν σου Μονήν,
ἐν Προμάχοις προστάτευσον,
ἐκ τοῦ δράκοντος,
ἱερώτατε Πάτερ τοῦ ἀρχαίου,
κακοβούλου πτερνοσκόπου,
ἐφευρετοῦ τῆς κακότητος.

Καὶ τὸν ἄλλον ὑμνήσωμεν,
τῆς Ἐδέσσης τὸν Πρόεδρον,
καὶ ἐν Ἱεράρχαις ἄνδρα θεόσοφον,
τὸν ποδηγέτην Καλλίνικον,
τοῦ κλήρου ποιμάντορα,
καὶ λαοῦ τὸν ὁδηγόν,
πρὸς τὸν δρόμον τῆς χάριτος,
θεῖον κήρυκα,
καὶ διδάσκαλον ὄντως θεολόγον,
ἐντολῶν καὶ τῶν κανόνων,
τὸν ἐραστὴν ταπεινώσεως.

Ἀλμωπίας τὸ κλέϊσμα,
καὶ Χρυσῆς τὸ ἐκβλάστημα,
τῶν Νεομαρτύρων τὸ ἀκροθίνιον,
ἐγκωμιάσωμεν ᾄσμασιν,
αὐτὴ γὰρ ἠδάφισε,
τοῦ Βελίαρ τὴν ὀφρύν,
καὶ τῆς Ἄγαρ τὴν ἔπαρσιν,
καὶ ἐνήθλησεν,
ἀνδρικῶς ὑποστᾶσα τὰς βασάνους,
διὸ μέλπομεν βοῶντες·
Χαῖρε Χρυσῆ θεοδόξαστε.

Τῆς Ἐδέσσης οἱ μάρτυρες,
οἱ τὸ στέφος κερδήσαντες,
τῆς ὁμολογίας τὸ ἀμαράντινον,
τῆς παρθενίας συνώνυμος,
καὶ Βάσσα ἡ ἔνδοξος,
καὶ τὰ τέκνα τὰ αὐτῆς,
ὁ Πιστὸς καὶ ὁ Θέογνις,
καὶ Ἀγάπιος,
ἀκλινῶς τὴν ὁδὸν τῶν ἀθλοφόρων,
διοδεύσαντες συμφώνως,
ἐν Παραδείσῳ μετῴκησαν.

Ἐννεάριθμον σύλλογον,
τῆς Ἐδέσσης Μητρόπολις,
ὡς φρουροὺς γινώσκει,
αὐτῆς καὶ γάννυται,
ὅτι νομίμως ἐνήθλησαν,
τὴν πίστιν ἐτήρησαν,
καὶ τὸ στέφος τὸ λαμπρόν,
ἐκ χειρὸς τοῦ Παντάνακτος,
πάντες ἔλαβον,
καὶ ἐκτήσαντο θείαν παῤῥησίαν,
ὑπὲρ ἡμῶν τῶν ὑμνούντων,
σημεῖα τούτων καὶ θαύματα.

Δόξα Πατρί. Ἦχος πλ.β΄.

Σήμερον ἡ ἱερὰ τῆς Ἐδέσσης Μητρόπολις,
σύναξιν ἐπιτελοῦσα,
τῶν ἐννέα αὐτῆς προστατῶν ἁγίων,
γάννυται καὶ λαμπρύνεται,

καὶ πανηγυρίζει βοῶσα·
χαῖρε Κυρία Ἐλεοῦσα,
Παρθένος Θεοτόκος,
ἡ τέξασα τὸν Κύριον,
τῶν βροτῶν τὸ μέγα ἔλεος·
Χαίρετε Ἀρχιθυτῶν ἡ ξυνωρίς,
Ἱλαρίων καὶ Καλλίνικε,
οἱ ἐν διαφόροις ἔτεσιν,
στεῤῥοτάταις Ὀρθοδόξοις διδαχαῖς,
σημείοις καὶ ἐναρέτοις ἤθεσιν,
τὸν λαὸν στηρίξαντες,
καὶ ἔξω τῆς ποίμνης,
τοὺς λοιμώδεις ἐκβαλόντες αἱρετικούς·
Χαίρετε τῶν ἀθλοφόρων χορεία,
Παρθένα τῶν Ἐδεσσηνῶν ἀγαλλίαμα,
Βάσσα καὶ τὰ θρέμματα αὐτῆς,
Θεόγνιε Πιστὲ καὶ Ἀγάπιε,
οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες,
καὶ σὺν τούτοις Χρυσῆ νεόαθλε,
Ἀλμωπίας τὸ βλάστημα.
Πάντας οὖν αὐτοὺς ἑορτάζοντες,
συμφώνως λέγομεν·
Ἅγιοι ἐννεάριθμοι,
πρεσβεύσατε ἐκτενῶς πρὸς Κύριον,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τοῦ τυχόντος ἤχου.

Τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.
(κεφ. 28, 10-17)

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρράν. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος, καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς· Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς, καὶ εἶπεν· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ, ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ

ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ Θάλασσαν, καὶ Λίβα, καὶ Βορρᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν. Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν. Ὡς φοβερὸς ὁ τόπος οὗτος! Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(κεφ. 10, 7 & 3, 13-16 & ἐκλογή)

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας

προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ,
ἡ πολύφημος τῆς Ἐδέσσης Μητρόπολις,
διὰ τὸν ἐννεάριθμον σύλλογον,
τῶν σημειοφόρων Ἁγίων αὐτῆς.
Οὗτοι γὰρ οἱ πολυθαύμαστοι,
ἐν τῇ γενεᾷ αὐτῶν ζήσαντες,
τὰς μηχανουργίας τοῦ ἐχθροῦ ἐδαφίσαντες,
τὰ πάθη τῆς ψυχῆς καὶ τοῦ σώματος καταργήσαντες,
τὸν Χριστὸν ἀγαπήσαντες,
καὶ τὴν Ἐκκλησίαν δοξάσαντες,
ἄνω ἀνεληλύθασι,
καὶ μετὰ τῶν ἀπ' αἰῶνος οὐρανοπολιτῶν,
νομίμως συνηριθμήθησαν.
Ὅθεν αὐτοὺς εὐλαβῶς ἱκετεύοντες,
βοῶμεν ἐκ καρδίας,
μὴ παύσητε πρεσβεύοντες,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β΄.

Βαβαὶ τῶν σῶν μαρτυρίων σεμνή,
πῶς μετὰ καρτερίας ὑπήνεγκας,
τὰς ὕβρεις καὶ τοὺς χλευασμούς,
διὰ τὸν Νυμφίον σου Χριστόν·
πῶς τὰς αἰκίας ἐν τῷ σώματι,
τὴν πυρακτωθεῖσαν περόνην ἐν τοῖς ὠτίοις,
τὴν κατάτμησιν τῶν μελῶν,
καὶ τὴν τμῆσιν τῆς κεφαλῆς σου ἐδέχθης,
ἀνδρικῷ φρονήματι,
Νεομάρτυς Χρυσῆ ἀξιάγαστε·

καὶ νῦν ἐν οὐρανοῖς οὖσα,
διηνεκῶς ἱκέτευε,
ὑπὲρ τῆς Ἐπισκοπῆς ἡμῶν,
τηρηθῆναι ἀλώβητον,
ἐκ πάσης τοῦ ἀντικειμένου κακότητος.

Ἦχος γ΄.

Εὐτέχνως τὸν οἶκον τῶν ἀρετῶν ἀνεγείραντες,
καὶ ἔρωτι θείῳ,
τὸν Θεὸν ἀγαπήσαντες,
ἀθλοφόροι Κυρίου,
ἠρνήθητε τῶν γεηρῶν τὴν ἀπόλαυσιν,
τῶν ματαίων τὴν δόξαν,
καὶ τῶν ἐπικήρων τὰ θέλγητρα,
ἀλλὰ σταθηρῶς ἐστήκατε,
ἐπὶ τὴν πέτραν τῆς πίστεως,
Χρυσῆ μεγαλομάρτυς,
Παρθένα ἡ Ἐδεσσαία,
Βάσσα ἡ πολύαθλος,
καὶ ἡ Τριὰς τῶν Υἱῶν σου,
Ἀγαπίου Θεογνίου καὶ Πιστοῦ.
Διὸ ὑμᾶς μακαρίζομεν,
καὶ τὰς λιτὰς ὑμῶν ἐκζητοῦμεν,
ὑπὲρ τῆς φιλτάτης ἡμῶν πατρίδος,
καὶ τῶν Ἑλλήνων πάντων.

Ἦχος δ΄.

Τὴν ἐπισκοπικὴν ἀμφιασάμενοι ἀμπεχόνην,
Πατέρες Θεόσοφοι,
ἐν τοῖς μέσοις χρόνοις,
καὶ ἐν τοῖς καθ΄ ἡμᾶς ἔτεσι,
Ἱλαρίων πανόσιε,
καὶ Καλλίνικε πανσεβάσμιε,
μετ΄ ἐπιστήμης καὶ χάριτος Θεοῦ,
τῶν πιστῶν τὰς ἀγέλας ἐποιμάνατε,
καὶ πολλοὺς ἐκ τῆς πλάνης τοῦ Βελίαρ,
διεφυλάξατε καὶ ὀρθοδόξως ἐκατηχήσατε·
διὸ καὶ τανῦν μὴ παύσητε ἱερώτατοι,
τὴν ἱερὰν ἡμῶν Μητρόπολιν,
τῆς Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας,
διηνεκῶς περισκέποντες,

ὡς ἔχοντες μεγίστην παῤῥησίαν,
πρὸς Κύριον.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός.

Τὴν σεπτήν σου εἰκόνα,
Ἐλεοῦσα κατασπαζόμενοι,
χαρᾶς ἀφάτου πληρούμεθα,
οἱ γὰρ ὀφθαλμοί σου Ἄνασσα,
τὴν εἰρήνην δωροῦνται τοῖς δούλοις σου,
καὶ αἱ σεπταὶ χεῖρές σου,
τοῖς θλιβομένοις καὶ πάσχουσιν,
εἰσὶ στήριγμα καὶ βακτηρία·
ἐπεὶ γὰρ τέτοκας τὸ μέγα ἔλεος,
τὸν ἐλεήμονα Κύριον,
ταῖς ἱκετηρίαις σου ἱλέωσαι,
καὶ δὸς ἡμῖν τὰ ἐλέη σου.

Ἐν τοῖς Ἀποστίχοις πρῶτον τὸ ἀναστάσιμον
τοῦ τυχόντος ἤχου καὶ εἶτα τῶν Ἁγίων τὰ ἑξῆς·

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν θεοφόρων χορός,
ἐξ Ἐπισκόπων καὶ μαρτύρων συγκείμενος,
ὑπέρτιμοι εὐσεβείας,
καὶ τῶν πιστῶν ὁδηγοί,
καὶ Ἐδέσσης πάσης καλλωπίσματα,
οἱ κήρυκες πίστεως,
καὶ ἠθῶν ὑποτύπωσις,
Βάσσα θεόφρον,
καὶ Πιστὲ θεοστήρικτε,
καὶ σὺ Θέογνι,
καὶ Ἀγάπιε ἔνδοξοι,
δύο Χριστοῦ Ἐπίσκοποι,
Χρυσῆ θεοδώρητε,
σὺν τῇ ἁγίᾳ Παρθένᾳ,
καὶ Ἐλεοῦσα Πανάχραντε·
Χριστὸν δυσωπεῖτε,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις τῶν Ἐπισκόπων δυάς,
Ἐδέσσης πάσης,
ὁ ποιμάντωρ Καλλίνικος,
τῆς πίστεως ὁ διδάχος,
καὶ ποδηγὸς κληρικῶν,
τῆς λατρείας θείας ὁ διδάσκαλος,
ὁμοῦ καὶ ὁ ἕτερος,
Μογλενῶν ὁ Ἐπίσκοπος,
ὁ Ἱλαρίων,
Ὀρθοδόξων τὸ στήριγμα,
τοῖς μονάζουσιν ὁ κανὼν καὶ τὸ πρότυπον,
ὤφθης δὲ καὶ αἱρέσεων,
ἡ παῦσις καὶ ἔλεγχος,
τοῦ ψευδολόγου βελίαρ,
ἀποκαλύψας τὴν γύμνωσιν·
Χριστὸν δυσωπεῖτε,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ,

ἐθαυμάστωσεν ὁ Κύριος.

Ἅπας ἐν Γιαννιτσοῖς ὁ λαός,
καὶ τῆς Ἐδέσσης τὸ ὀρθόδοξον πλήρωμα,
ὁμοίως καὶ Ἀλμωπίας,
ὁ εὐσεβὴς πληθυσμός,
ἐννέα Ἁγίων τὴν πανήγυριν,
ὀρθῶς συνεστήσαντο,
καὶ ἐξύμνησαν ᾄσμασιν,
τὴν βιοτήν τε τὰ σημεῖα καὶ θαύματα,
οἱ πανεύφημοι,
Ἐκκλησίας κυδεύματα·
ὅθεν οὖν ἀγαλλόμενα,
πιστῶν τὰ συστήματα,
ἐν Μητροπόλει ἁπάσῃ,
τὴν μνήμην τούτων γεραίρομεν,
αἰτούμενοι πίστει,
ταῖς εὐχαῖς αὐτῶν δοθῆναι,
ἡμῖν τὰ πρόσφορα.

Δόξα καὶ νῦν. Θεοτοκίον. (Τῆς Ἐλεούσης)

Ἦχος πλ.δ΄.

Δέσποινα Ἐλεοῦσα,
ἡ τὸν Ἐλεήμονα τέξασα Θεόν,
ταῖς σωστικαῖς σου πρεσβείαις,
τὸν Υἱὸν καὶ Δεσπότην σου δυσώπησον,
ὑπὲρ τῶν προσκυνούντων τὴν σεπτήν σου,
γαληνόμορφον εἰκόνα,
καὶ ἔχειν αὐτοὺς πίστιν στεῤῥάν,
ἐλπίδα ἀκαταίσχυντον,
φόβον Θεοῦ,
πράξεις ἀγαθάς,
ἰσόβιον ταπείνωσιν,
μετάνοιαν εἰλικρινῆ,
καὶ τυχεῖν ἐν τέλει,
τὸ μέγα αὐτοῦ ἔλεος.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον,
τὸ Ἀναστάσιμον Ἀπολυτίκιον τοῦ ἤχου καὶ εἶτα τῶν Ἁγίων.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἐννεάριθμον δῆμον,
τῶν ἁγίων τιμήσωμεν,
δύο Ἱεράρχας ὁσίους,
καὶ μαρτύρων κλεΐσματα,
σὺν τούτοις Ἐλεοῦσαν Μαριάμ,
προστάτας τῆς Ἐδέσσης τοὺς κλεινούς·
διὰ τοῦτο γὰρ Μητρόπολις ἡ ἡμῶν,
οὐ παύεται κραυγάζουσα·
Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς,
δόξα τῷ ἁγιάσαντι,
δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν,
πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε,
σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης,
ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ,

ὡς ἔφη ὁ δίκαιος Δαυΐδ.
Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,
βαστάσασα τὸν Κτίστην σου.
Δόξα τῷ ἐνοικήσαντι ἐν σοί·
δόξα τῷ προελθόντι ἐκ σοῦ·
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς,
διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν Καθίσματα Ἀναστάσιμα τοῦ ἤχου.
Μετὰ τὴν β΄ Στιχολογίαν Καθίσματα τῶν Ἁγίων.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐπίσκοποι Χριστοῦ,
Μογλενῶν Ἱλαρίων,
Καλλίνικε σοφέ,
τῆς Ἐδέσσης τὸ κλέος,
καὶ ἀήττητοι μάρτυρες,
τῆς ἡμῶν Μητροπόλεως,
πάσης ῥύσασθε,
ἐξ ἀναγκῶν καὶ κινδύνων,
καὶ τῶν θλίψεων,
τοῦ πολυφρόντιδος βίου,
λαὸν τὸν Ὀρθόδοξον.

Θεοτοκίον ὅμοιον.

Ἐλέει σου ἡμῖν,
Ἐλεοῦσα Παρθένε,
χορῷ τῶν ὑμνητῶν,
τοῦ ἀχράντου σου τόκου,
βοήθησον Πανάχραντε,
Θεοτόκε Ἀμόλυντε,
ταῖς πρεσβείαις σου,
ὅπως ἐκφύγωσι πάντες,
τῆς κακότητος,
τοῦ πτερνοσκόπου βελίαρ,
ἐχθροῦ τῶν ψυχῶν ἡμῶν.

Ἀντὶ τοῦ Ἀμώμου τὸν Πολυέλεον, μεθ᾽ ὃν τὰ εὐλογητάρια, αἴτησις,
ἡ Ὑπακοὴ καὶ ἀμέσως τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος γ΄. Θείας Πίστεως.

Ἐννεάριθμον χορὸν Ἁγίων,
Μητροπόλεως Ἐδέσσης Πέλλης,
καὶ Ἀλμωπίας τοὺς προστάτας γηθόμενοι,
ὑμνολογοῦμεν καὶ στέφομεν ᾄσμασιν·

ἐν διαφόροις γὰρ ζήσαντες ἔτεσι,
πάντες χαίροντες,
Σταυρὸν τοῦ Χριστοῦ ὑπήνεγκαν,
κηρύξαντες αὐτοῦ τὸ θεῖον ὄνομα.

Θεοτοκίον ὅμοιον.
(Τῆς Ἐλεούσης)

Ἐξαπόστειλον ὦ Ἐλεοῦσα,
τὰ ἐλέη σου τοῖς προσκυνοῦσι,
σεμνοπρεπῶς τὴν ἁγίαν εἰκόνα σου,
καὶ ἐκζητοῦσι ψυχῆς τὰ κατάλληλα,
σὺ γὰρ τεκοῦσα Θεὸν Ἐλεήμονα,
καὶ φιλάνθρωπον,
πολλὴν παῤῥησίαν ἔσχηκας,
ὑπὲρ παντελεῆμον τῶν οἰκείων σου.

Ἡ τάξις τοῦ ἐνδιατάκτου Ἑωθινοῦ Εὐαγγελίου.
Εἶτα οἱ Κανόνες· ὁ Ἀναστάσιμος, τῆς Θεοτόκου καὶ τῶν Ἁγίων.

Τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·
*«Ἐλεούσης Παρθένου ἐκζητῶ τὰ ἐλέη. Ἰωήλ»*

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Ἐν μέσῳ παγίδων πολυειδῶν,
ὁ βίος μου Μῆτερ,
διαβαίνει πρὸς τὸν κρημνόν,
ἀλλὰ ταῖς εὐχαῖς σου Ἐλεοῦσα,
ἐξ ἀπωλείας ἐλπίζω σωθήσεσθαι.

Λοιμώδη νοσήματα τῆς σαρκός,
ἀλλὰ καὶ ἰώσεις,
τῆς ψυχῆς μου τὰς χαλεπάς,
θεράπευσον Μῆτερ Ἐλεοῦσα,
ὡς τοῦ ἐλέους γεννήσασα Κύριον.

Ἐπίβλεψον Κόρη ἐπιεικῶς,
καὶ ἴδε καὶ σῶσον,
τὸ σὸν γένος ἐκ τῶν δεινῶν,
μεσῖτιν γὰρ ἔχει καὶ προστάτιν,
σὲ Ἐλεοῦσα Πανάμωμε Δέσποινα.

Ὁ Τόκος σου ὤφθη ἐπὶ τῆς γῆς,
ἡμῖν τοῖς ἀνθρώποις,
ἐλεήμων καὶ συμπαθής,
διὸ πρὸς αὐτὸν καθικετεύω,
διηνεκῶς ὑπὲρ πάντων μεσίτευσον.

Κανὼν τῶν Ἁγίων οὗ ἡ ἀκροστιχίς·
*«Τῶν Ἐδεσσαίων Ἁγίων ὕμνους πλέκω. Ἰωήλ.»*

Ἦχος ὁ αὐτός. Ὠδὴ α΄. Ἁρματηλάτην φαραώ.

Τοὺς Ἱεράρχας καὶ γενναίους μάρτυρας,
σὺν τῇ Μητρὶ τοῦ Θεοῦ,
τοὺς ἐννεαρίθμους θείους ἀντιλήπτορας,
πιστῶν ἀνευφημήσωμεν,
πρὸς αὐτοὺς ἐκβοῶντες,
χαίροις χορεία φιλόχριστε,
πάσης τῆς Ἐδέσσης καυχήματα.

Ὦ ξυνωρὶς Ἀρχιερέων πάντιμε,
λαμπροὶ ποιμένες πιστῶν,
πάτερ Ἱλαρίων,
καὶ σὺν σοὶ Καλλίνικε,
οἱ ζήσαντες ὡς ἄγγελοι,
ἐπὶ γῆς θεοφόροι,
ὑμῶν λιταῖς προφυλάξατε,
τοὺς βροτοὺς ἐκ βλάβης τοῦ δράκοντος.

Νεανικῶς τοῦ ἀρχεκάκου ὄφεως,
μηχανουργίας πολλάς,
κολακείας πάσας,
ἀπειλὰς καὶ φόβητρα,
ἠδάφισας πανένδοξε,
τῇ στεῤῥᾷ σου ἀθλήσει,
καὶ ἠριθμήθης τοῖς μάρτυσιν,
ἔνδοξε Χρυσῆ καλλιπάρθενε.

Θεοτοκίον.

Ἐπὶ Σταυροῦ ὀδυνηρῶς τεθέασαι,
τὸν σὸν Υἱὸν ἀγαθή,
καὶ ῥομφαία ὄντως,
Ἐλεοῦσα Δέσποινα,

διῆλθεν ὡς προείρηκε,
Συμεὼν ἐν καρδίᾳ,
τῇ μητρικῇ σου Πανάμωμε,
ὅθεν σοι ᾠδὰς ἀναπέμπομεν.

Τῆς Θεοτόκου.
Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπὲρ πάντας Ἁγίους,
καὶ νοερὰ τάγματα,
τῶν φωτοειδῶν Ἀρχαγγέλων,
σὲ μακαρίζομεν,
ὅτι Χριστὸν τὸν Θεόν,
κυοφορῆσαι ἐδέχθης,
ἵνα Ἐλεοῦσά μου,
σώσῃ τὸν ἄνθρωπον.

Σὲ λιμένα Παρθένε,
τῶν ναυαγῶν ἔγνωμεν,
τῶν ἐν τῷ πελάγει ῥιφθέντων,
τῆς ἀπογνώσεως,
καὶ ἐκβοῶμεν Ἁγνή,
ταῖς ἐνεργείαις σου σπεῦσον,
ἐλεῆσαι ἅπαντας,
τοὺς κινδυνεύοντας.

Ἡδυφώνως ὑμνοῦμεν,
τὸ ἱερόν σου εἰκόνισμα,
ἐν τῇ Ἱερᾷ Μητροπόλει,
Ἐδέσσης Πάναγνε,
καὶ ἐκζητοῦμεν ἡμῖν,
τὰ σὰ ἐλέη διδόναι,
σὺ γὰρ ἐλεήμονα,
Υἱὸν ἐκύησας.

Θεοτοκίον.

Στάμνος ἔχουσα μάννα,
πνευματικὸν γέγονας,
ἄρτον τῆς ζωῆς χορηγοῦσα,
ἡμῖν τοῖς δούλοις σου,
τὸν Ἐλεήμονα,
καὶ πανοικτίρμονα Λόγον,

ὃν Ἁγνὴ ἐζύμωσας,
ἐν τῇ κοιλίᾳ σου.

Τῶν Ἁγίων.
Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Δύναμιν ἔχουσα πολλήν,
τοῦ Παρακλήτου ἁγία,
τὴν μανίαν τῶν ἀθέων σκεδάζεις,
καὶ οἱ τρεῖς σου οἱ υἱοί,
Ἀγάπιος Θεόγνιος,
καὶ ὁ Πιστὸς ὁμοίως,
Βάσσα σὺν σοὶ ἐμαρτύρησαν.

Ἐδέσσης πάσης οἱ πιστοί,
καὶ Ἀλμωπίας ὁμοίως,
καὶ τῆς Πέλλης ὁ λαὸς μακαρίζει,
ἐννεάριθμον χορόν,
αἰτοῦντες τὰ χαρίσματα,
καὶ τὴν πρεσβείαν τούτων,
πρὸς τὸν φιλάνθρωπον Κύριον.

Στέφανον εἴληφε Χριστοῦ,
ἡ νεομάρτυς Παρθένα,
ἡ τῆς Ἄγαρ ἀρνηθεῖσα μωρίαν,
καὶ βασάνους τὰς πολλάς,
καὶ ὕβρεις καὶ τὴν πόμπευσιν,
καὶ τῶν οἰκείων κακίαν,
ἀνδροπρεπῶς ὄντως ἤνεγκε.

Θεοτοκίον.

Σωτῆρα ἔτεκες Χριστόν,
Ἄνασσα Ἐλεοῦσα,
τὸν λυτρώσαντα ἡμᾶς ἐκ θανάτου,
καὶ καταῤῥάξαντα ἐχθρόν,
Σταυρῷ ὡς παντοδύναμον,
καὶ θράσος καὶ κακίαν,
ἐκ ῥίζης τούτου σκεδάσαντα.

Τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Κυριακῆς μεθ᾽ ἃ

Κάθισμα τῶν Ἁγίων.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χορὸς ἐννεάριθμος,
τῶν ἀγαπώντων Χριστόν,
λαμπροὶ νεομάρτυρες,
καὶ παλαιοὶ ἀθληταί,
Ἐπίσκοποι ἅγιοι,
Πέλλης τε καὶ Ἐδέσσης,
καὶ κλεινῆς Ἀλμωπίας,
στύλοι τῆς εὐσεβείας,
καθαιρέται τῆς πλάνης,
μὴ παύσητε δεόμενοι,
ὑπὲρ ἡμῶν ἅγιοι.

Θεοτοκίον.

Παρθένε πανάμωμε,
Μήτηρ Χριστοῦ τοῦ Θεοῦ,
δακρύων τὰ ῥεύματα.
τῶν ὀφθαλμῶν τῆς ψυχῆς,
ἀπόσβεσον δέομαι˙
σὺ γὰρ τοῖς θλιβομένοις,
ἐκ πολλῶν ἁμαρτάδων,
γέγονας τῷ σῷ τόκῳ,
τοῦ ἐλέους δοχεῖον,
διὸ καὶ σὲ γεραίρομεν,
Πανύμνητε Δέσποινα.

Τῆς Θεοτόκου.
Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ποταμοῖς τῶν χαρίτων σου,
τοὺς νενοσηκότας βαρέως ἴασαι,
Ἐλεοῦσα Θεονύμφευτε,
πάντων τῶν καμνόντων θεραπεύτρια.

Ἆρον Κόρη δυνάμει σου,
τὸν κλοιὸν Παρθένε τῶν ἁμαρτάδων μου,
καὶ ἐλεύθερόν με ποίησον,
ὅπως ἀνυμνῶ σου τὰ θαυμάσια.

Ῥείθροις τῶν ἰαμάτων σου,
τὴν μεμολυσμένην ψυχήν μου κάθαρον,

ἐκ τῶν νόσων τῆς οἰήσεως,
δοῦσα τοῦ Υἱοῦ σου τὴν ταπείνωσιν.

Θεονύμφευτε σθένωσον,
τοὺς δυστυχεστάτους Παρθένε δούλους σου,
κακουργίαις τοῦ ἀλάστορος,
καὶ ταῖς συμφοραῖς τοῦ βίου Πάναγνε.

Τῶν Ἁγίων.
Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Ἀσκητικῶς ἐν μέσοις χρόνοις ἐβίωσας,
Ἱλαρίων Μογλενῶν Ἐπίσκοπε,
καὶ Βογομίλων αἱρετικῶν,
ὁρμὴν ἀνακόψας,
τοῖς θεοπνεύστοις σου ῥήμασι,
καὶ λύσας τοῦ Βελίαρ,
πονηρίαν καὶ ψεύδη,
τῇ σῇ ποίμνῃ ὡράθης ὡς ἄγγελος.

Ἱερουργὸς σὺ τοῦ Χριστοῦ ἱερώτατος,
Ἱλαρίων Ὀρθοδόξων πρόμαχος,
καὶ ὁ διδάσκαλος τῶν πιστῶν,
ἐφάνης παμμάκαρ,
ὡς ἀποστόλοις ὁμόηθος,
διὸ καὶ ἐν συνάξει,
τὴν σὴν μνήμην τιμῶμεν,
καὶ ὑμνοῦμεν τὸν βίον σου ὅσιε.

Ὡς οἱ πρὸ σοῦ θεοφόροι ποιμάντορες,
Ἱλαρίων ἔθρεψας τὰ θρέμματα,
τὰ λογικὰ ταῖς σαῖς διδαχαῖς,
ὡς ἔνθεος κήρυξ,
τοῦ Παρακλήτου πανεύφημε,
καὶ μιμητὴς ἐγένου,
τῶν ἁγίων Πατέρων,
Ἱεράρχα Χριστοῦ ἀξιάγαστε.

Θεοτοκίον.

Νῦν τὴν σεπτὴν καὶ ἁγίαν εἰκόνα σου,
τὴν κειμένην Ἐλεοῦσα Πάναγνε,
ἐν τῷ οἴκῳ Ἐπισκοπῆς,

Ἐδέσσης καὶ Πέλλης,
καὶ Ἀλμωπίας ἀσπάζονται,
καὶ ὕμνοις ἐγκαρδίοις,
ἐξαιτοῦνται Παρθένε,
πολυέλεε μῆτερ τὴν χάριν σου.

Τῆς Θεοτόκου.
Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἔχων σε Ἁγνή,
τροφοδότιδα τῆς χάριτος,
ού φοβοῦμαι τὰς παγίδας τοῦ ἐχθροῦ,
Ἐλεοῦσα τῶν πιστῶν τὸ καταφύγιον.

Νέκρωσον νοός,
τὰ δυσώδη ἐννοήματα,
καὶ παράσχου μοι λιταῖς σου καθαρμόν,
τῆς ψυχῆς καὶ τῆς καρδίας μου Ἀμόλυντε.

Ὄμβροις νοεροῖς,
ξηρανθεῖσαν τὴν καρδίαν μου,
φιλαυτίας ἐννοήμασιν Ἁγνή,
καταδρόσισον ῥοαῖς τῆς ταπεινώσεως.

Ὕψωσον σεμνή,
τὴν Ἑλλάδα ταῖς πρεσβείαις σου,
καταστέλλουσα δυνάμεις τῶν ἐχθρῶν,
τῶν ζητούντων μανικῶς,
αὐτῆς τὴν ἔκπτωσιν.

Τῶν Ἁγίων.
ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἀνελθὼν είς τὸν θῶκον,
τῶν Ἀρχιθυτῶν Ἱεράρχα Καλλίνικε,
λαοῦ τε καὶ κλήρου,
θεοφόρος ἐδείχθης διδάσκαλος,
βίῳ καὶ τῷ λόγῳ,
διδάξας πάντας ὀρθοδόξως,
τοῦ Χριστοῦ τὰ σωτήρια δόγματα.

Γηπονήσας ἐνθέως,
τὸ λαχόν σοι πάτερ θεόφρον γεώργιον,

ἐδρέψω πλουσίως,
τοὺς καρποὺς τῶν ἀγώνων σου Ἅγιε·
σὺ γὰρ ὤφθης ὄντως,
χρυσοῦν δοχεῖον χαρισμάτων,
Παρακλήτου παμμάκαρ Καλλίνικε.

Ἱλαρὸς ἐν τοῖς τρόποις,
καὶ μεστὸς ἐν τοῖς λόγοις πάτερ Καλλίνικε,
πτωχῶν ὁ παραστάτης,
καὶ νεότητος φίλος καὶ πρότυπον,
ἐραστὴς λατρείας,
τῆς εὐχῆς καλλίκαρπον δένδρον,
ἐπ᾿ ἐσχάτων τῶν χρόνων γεγένησαι.

Θεοτοκίον.

Ὡραιώθης Παρθένε,
ὡς τεκοῦσα ἀσπόρως τὸν Παντοκράτορα,
διὸ τοὺς σὲ ὑμνοῦντας,
μὴ ὀκνήσῃς σκεπάζουσα πάντοτε·
σὺ γὰρ Ἐλεοῦσα,
Ἐδέσσης ὤφθης ὁ προστάτις,
Ἀλμωπίας καὶ Πέλλης κραταίωμα.

Τῆς Θεοτόκου.
Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἐλέους εἶ χορηγός,
πιστῶν ἀνθρώπων Πανάχραντε,
ὡς ἔχουσα πρὸς Χριστόν,
τὸ θάῤῥος καὶ ἄνεσιν·
μὴ παύσῃ τοῖς δούλοις σου,
Ἐλεοῦσα δοῦναι,
τῆς ψυχῆς τὸ μέγα ἔλεος.

Καθήλωσον τοῦ ἐχθροῦ,
τοῦ πτερνοσκόπου νοήματα,
καὶ πάντα τὰ καθ᾿ ἡμῶν,
αὐτοῦ μηχανήματα,
καὶ παῦσον δυνάμει σου,
τὴν κακίαν τούτου,
Ἐλεοῦσα παντευλόγητε.

Ζωῶσαί μου τὴν ψυχήν,
τὴν νεκρωθεῖσαν τοῖς πάθεσιν,
ἐμπόνως ἀντιβολῶ,
ὁ ἄχρηστος δοῦλός σου,
καὶ δός μοι ἐγρήγορσιν,
ὅπως ἰατρεύσω,
τῆς καρδίας μου τὰ τραύματα.

Ἡ Ἔδεσσα προσκυνεῖ,
θαυματουργόν σου εἰκόνισμα,
καὶ Πέλλα ὑμνολογεῖ,
τὸν τόκον σου Δέσποινα,
καὶ Ἄλμωπες μέλπουσι,
ἐκ καρδίας μῆτερ,
τὰ σημεῖά σου καὶ θαύματα.

Τῶν Ἁγίων.
Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Νεᾶνις περιφανής,
καὶ ἐν τῷ σώματι πάγκαλος,
Νυμφίου τοῦ ποθητοῦ,
παρθένος ἡ ἄμωμος,
Χρυσῆ Θεοστόλιστε,
καὶ μεγαλομάρτυς,
ἐπεγνώσθης τῇ ἀθλήσει σου.

Ὑμνοῦσιν οἱ γηγενεῖς,
ὑπομονῆς σου τὸ ἄσειστον,
μελῶν σου τὴν ἐκκοπήν,
ὠτίων διάτρησιν,
βασάνους καὶ σκώμματα,
καὶ ἐρεσχελίας,
καὶ οἰκείων τὴν ἀπόῤῥιψιν.

Μανίαν Ἀγαρηνῶν,
καὶ κακοτρόπων τὰ φόβητρα,
ἀπέῤῥιψας ἀνδρικῶς,
καὶ ὤφθης νικήσασα,
τῆς πλάνης τὰ ὄργανα,
καὶ ἀθέων ὄχλον,
καὶ τοῦ πλάνου τὰ κινήματα.

Θεοτοκίον.

Νῦν ἅπαντες οἱ πιστοί,
ἐπιζητοῦσι τὴν χάριν σου,
τὴν ὄντως εἰρηνικήν,
καὶ σθένος τὸ ἄμαχον,
τὸ ἦθός σου Πάναγνε,
καὶ τὴν σὴν ἀγάπην,
πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα.

Κοντάκιον.
Ἦχος δ΄. Ἐπεφάνη σήμερον.

Ἐν συνάξει σήμερον,
ἐπευφημοῦμεν,
τοὺς ἁγίους μάρτυρας,
σὺν Ἐπισκόποις τοῖς δυσί,
καὶ Ἐλεοῦσαν Θεόπαιδα,
τοὺς ἐν Ἐδέσσῃ,
νομίμως ἐκλάμψαντας.

Ὁ Οἶκος.

Ἐν ποικίλοις τοῖς χρόνοις βιώσαντες,
καὶ ὀρθοδόξως τὴν πίστιν τηρήσαντες,
καὶ ὡς ἥλιοι χάριτος λάμψαντες,
οἱ ἅγιοι δύο Ἐπίσκοποι Καλλίνικος καὶ Ἱλαρίων,
καὶ οἱ σὺν αὐτοῖς ἀθλοφόροι μάρτυρες,
Βάσσα καὶ τὰ τέκνα αὐτῆς,
Ἀγάπιος Θεόγνιος καὶ Πιστός,
καὶ σὺν αὐτοῖς Χρυσῆ ἡ νεομάρτυς,
καὶ Παρθένα ὡσαύτως,
ἐν συνάξει τῆς ἱερᾶς Μητροπόλεως,
Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας,
ἰσοτίμως τιμῶνται ἐν ᾄσμασι.
Δεῦτε οὖν φιλέορτοι ἐν περισσείᾳ χαρᾶς,
αὐτοὺς προσκυνήσωμεν λέγοντες·
Χαίρετε Πατέρες καὶ Μάρτυρες,
οἱ ἐν Ἐδέσσῃ νομίμως ἐκλάμψαντες.

Συναξάριον.
Τὰ τοῦ Μηναίου.

Εἶτα τῶν Ἁγίων.

Τῇ αὐτῇ ἡμέρᾳ πρώτῃ Κυριακῇ τοῦ Ὀκτωβρίου μηνὸς
Σύναξιν ἐπιτελοῦμεν τῆς ἐννεαρίθμου χορείας τῶν Ἁγίων
τῶν διαλαμψάντων ἐν τῇ Ἱερᾷ Μητροπόλει τῆς Ἐδέσσης,
Πέλλης καὶ Ἀλμωπίας ἤτοι
τῆς Ὑπεραγίας Θεοτόκου,
τῆς ἐπιλεγομένης Ἐλεούσης,
Ἔτι δὲ τῆς σεπτῆς ξυνωρίδος
τῶν ἁγίων Ἐπισκόπων
Μογλενῶν Ἱλαρίωνος
καὶ Ἐδέσσης Καλλινίκου.
Ὁμοίως δὲ τιμῶμεν
Παρθέναν τὴν
Ἐδεσσαίαν καὶ Βάσσαν
μετὰ τῶν τριῶν τέκνων αὐτῆς,
Ἀγαπίου, Θεογνίου καὶ Πιστοῦ.

Στίχοι.
Εἰς τὴν Ἐλεοῦσαν.

Μητροπάρθενε Ἐλεοῦσα Παρθένε,
μὴ παύσῃ φρουροῦσα τὴν ἡμῶν Ἑλλάδα.

Αὕτη ἡ τῆς Ἐλεούσης σεπτὴ εἰκὼν ἐναπόκειται ἐν τῷ Ἐπισκοπείῳ
τῆς Ἐδέσσης θαύματα ἐπιτελοῦσα.

Εἰς τὸν Ἐπίσκοπον Μογλαίνων.
Ἀρχιθύτα Χριστοῦ σεπτὲ Ἱλαρίων,
τὴν σὴν μάνδραν φύλαττε ἐν τοῖς Προμάχοις.

Οὗτος ἐγεννήθη τὸν δέκατον καὶ δεύτερον αἰῶνα ὑπὸ εὐσεβῶν γονέων. Ἀνδρωθεὶς εἰσῆλθεν εἴς τινα μονὴν διακριθεὶς διὰ τὸ ἀσκητικὸν αὐτοῦ ἦθος. Ἐγένετο δὲ καὶ καθηγούμενος τοῦ κοινοβίου. Ἀργότερον ἐχειροτονήθη ἐπίσκοπος Μογλενῶν καὶ ταῖς διδαχαῖς αὐτοῦ ἐστήριξε τὸ Ὀρθόδοξον ποίμνιον καὶ κατῄσχυνε τὴν σατανοκίνητον αἵρεσιν τῶν Βογομίλων. Ἵδρυσε μονὴν ἐπ᾿ ὀνόματι τῶν Ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τοῖς Προμάχοις Ἀλμωπίας ἔνθα καὶ ἐτάφη.

Εἰς τὸν Ἐπίσκοπον Ἐδέσσης Καλλίνικον.

Καλλίνικε Ἐδέσσης ὁ ἀρχιποίμην,
ὑπὲρ ἡμῶν πρέσβευε ἀεὶ λιταῖς σου.

Οὗτος ἐγεννήθη καὶ ἐτελεύτησεν ἐν τῷ εἰκοστῷ αἰῶνι καταγόμενος ἐκ Σιταραλώνων τῆς Αἰτωλίας. Εἰσῆλθεν ἐν τῷ ἱερῷ κλήρῳ καὶ μετά τινα χρόνον ἐξελέγη Μητροπολίτης Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας. Ἔζησεν ὁσιακῶς καὶ ἐποίμανε μετ᾽ ἐπιστήμης καὶ διακρίσεως τὴν ἐπισκοπὴν αὐτοῦ.

Τῆς Ἁγίας Βάσσης καὶ τῶν τέκνων αὐτῆς.

Βάσσαν καὶ τὰ τρία αὐτῆς λαμπρὰ τέκνα,
ἡ Ἔδεσσα τιμᾷ καὶ γεραίρει ὕμνοις.

Αὕτη ἡ γενναιόφρων γυνὴ ἔζησεν ἐν τῷ τέλει τοῦ γ΄ αἰῶνος ἐν Ἐδέσσῃ τῆς Μακεδονίας μετὰ τῶν τριῶν τέκνων αὐτῆς ἤγουν τοῦ Ἀγαπίου, Θεογνίου καὶ Πιστοῦ. Παραδοθεῖσα εἰς τοὺς λάτρεις τῶν εἰδώλων ὑπὸ τοῦ ὁμόφρονος αὐτοῖς συζύγου ταύτης Οὐαλλεριανοῦ, ἠρνήθη προσκυνῆσαι τὰ ξόανα. Ἐνώπιον αὐτῆς ἐμαρτύρησαν ποικίλοις βασάνοις οἱ υἱοὶ ταύτης μὴ δειλανδρίσαντες πρὸ τοῦ θανάτου. Ὕστερον αὕτη ὑποστᾶσα  πολλὰς κακουργίας ὑπὸ τῶν ἀθέων καὶ θαυμαστῶς εὑρεθεῖσα ἐν τῇ Ἀλώνῃ Προποντίδος ἔνθα καὶ ἐναθλήσασα νομίμως ἐτελεύτησεν.

Τῆς ἁγίας Νεομάρτυρος Χρυσῆς.

Χρυσῆ νεομάρτυς Χριστοῦ ἀθληφόρε,
Ἀλμωπίας γόνος καὶ Ἐδέσσης κόσμος.

Αὕτη ἡ καλλίνικος νεομάρτυς ἐγεννήθη ἐν τῷ ὁμωνύμῳ αὐτῇ χωρίῳ τῆς Ἀλμωπίας κατὰ τὸ τελευταῖον τέταρτον τοῦ ΙΗ΄ αἰῶνος. Ἀρνουμένης αὐτῆς νὰ νυμφευθῇ τὸν μουσουλμάνον προύχοντα τοῦ χωρίου παρεδόθη εἰς χεῖρας τῶν βασανιστῶν ἀγαρηνῶν, ὑπέστη πολλὰ μαρτύρια, ἤγουν ὕβρεις, αἰκίας, περόνην πυρακτωθεῖσαν ἐν τοῖς ὠτίοις αὐτῆς καὶ διαμελισμὸν τοῦ σώματος αὐτῆς. Ἐτελεύτησεν ἀθλητικῶς καὶ νικηφόρως.

Τῆς ἁγίας νεομάρτυρος Παρθένας τῆς Ἐδεσσαίας.

Παρθένα ὁ μάργαρος τῆς παρθενίας,
τιμάσθω σήμερον ἐν ᾠδαῖς καὶ ὕμνοις.

Αὕτη κατὰ τὴν παράδοσιν ἐμαρτύρησε κατὰ τὴν

πτῶσιν τῆς Ἐδέσσης εἰς χεῖρας τῶν Τούρκων.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου τῆς Ελεούσης καὶ τῶν σὺν αὐτῇ ἑτέρων τῆς Ἐδέσσης Ἁγίων Κύριε Ἰησοῦ Χριστέ, σῶσον ἡμᾶς.

Τῆς Θεοτόκου.
Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὰ ἐλέη σου Μῆτερ,
Ἐλεοῦσα Παρθένε πᾶσι χορήγησον,
τοῖς πίστει προσκυνοῦσιν,
εἰκόνισμα τὸ θεῖον,
τῆς μορφῆς σου Πανάρετε,
καὶ τοῦ Υἱοῦ σου καὶ Θεοῦ,
Δεσπότου τῶν ἁπάντων.

Ὡς τέξασα τὸν Λόγον,
τοῦ Πατρὸς ὑπὲρ λόγον τὸν ἐλεήμονα,
ἐν κρίσει τῇ δευτέρᾳ,
μεσῖτις ὑπὲρ πάντων,
ἀναδείχθητι Δέσποινα,
ἵνα τοῦ σκότους καὶ πυρός,
ῥυσθῶμεν αἰωνίου.

Ταμεῖον τοῦ ἐλέους,
Ἐλεοῦσα ἐδείχθης Παντοβασίλισσα,
διὸ ἐξάρπασόν με,
ἐκ δεσμῶν ἀφύκτων,
τοῦ ἀρχαίου ἀλάστορος,
καὶ ἐκ πολλῶν μου φοβιῶν,
ἀπάλλαξόν με Μῆτερ.

Ἀπόρων ἡ προστάτις,
καὶ νοσούντων ἰάτειρα καὶ βοήθεια,
ἐλπὶς ἀπεγνωσμένων,
νεότητος τὸ θάρσος,
καὶ πιστῶν παραμύθιον,
καὶ τῶν ἐν γήρατι ζωή,
ὑπάρχεις Ἐλεοῦσα.

Τῶν Ἁγίων.
Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Ὁ ποιμὴν τῶν Μογλένων,
Ἱλαρίων ὁ νέος καὶ ἀρχιθύτης Χριστοῦ,
τῶν πρὸ αὐτοῦ ὁσίων,
ἰσότιμος ἐν πᾶσι,
ἀνυμνείσθω ἐν ᾄσμασιν,
αὐτὸς γὰρ ἦν τῶν πιστῶν,
ἐν τοῖς κινδύνοις ῥύστης.

Ὑπὲρ ἄστρον ἀνῖσχες,
ἐν ἐσχάτοις τοῖς χρόνοις ἐν Μητροπόλει τῇ σῇ,
φωτίζων τοὺς ἐν σκότει,
σοφαῖς διδασκαλίαις,
Ἱεράρχα Καλλίνικε,
διὸ τὴν μνήμην τὴν σήν,
τιμῶμεν ἐγκαρδίως.

Σοῦ τὴν ποίμνην θεόφρον,
ἐν Ἐδέσσῃ καὶ Πέλλῃ καὶ Ἀλμωπίᾳ ὁμοῦ,
ἐκ τῶν αἱρετιζόντων,
ἀρχαίων καὶ προσφάτων,
διαφύλαττε πάντοτε,
ἵνα ὑμνῶσι κλεινέ,
Καλλίνικε σὴν χάριν.

Θεοτοκίον.

Πεπλησμένος Παρθένε,
ἁμαρτάδων ποικίλων καὶ αἰσχροτάτων παθῶν,
γονυκλινὴς κραυγάζω,
μὴ παύσῃ Ἐλεοῦσα,
τὸν ἀχρεῖον ἱκέτην σου,
τῇ σῇ δυνάμει ἁγνή,
φρουροῦσα ἐκ παγίδων.

Τῆς Θεοτόκου.
Ὠδὴ η΄. Τὸν βασιλέα.

Ἔπιδε Μῆτερ,
ἐπὶ τοὺς σὲ σεβομένους,
καὶ αἰτοῦντας τῶν ψυχῶν αὐτῶν εἰρήνην,

ἵνα φιλοθέως,
διάγωσι τὸν βίον.

Λῦσον Παρθένε,
τῆς ἀκρασίας τὸ σκότος,
τῶν ψυχῶν ἡμῶν παρέχουσα φωτί σου,
λογισμοὺς ἐνθέους,
ὢ Ἐλεοῦσα Κόρη.

Ἔλεος δός μοι,
φιλανθρωπίας πρὸς πάντας,
καὶ ἀνάσπασον ἐκ ῥίζης τὴν κακίαν,
ἐκ τῶν λογισμῶν μου,
Παρθένε τῷ σῷ κράτει.

Ἡ τῆς Ἐδέσσης,
Ἐπισκοπὴ Ἐλεοῦσα,
ἐπαγάλλεται ἐν ταύτῃ τῇ συνάξει,
ὅτι σὲ προστάτιν,
ἡμῶν λογίζει Μῆτερ.

Τῶν Ἁγίων.
Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Λυττῶν σφοδρῶς ὁ κάκιστος,
θεοφόρε Θεόγνιε,
καὶ Πιστὲ θεόφρον,
καὶ μάκαρ Ἀγάπιε,
τῆς Βάσσης βλαστήματα,
ἐφώρμησε καὶ ἤγειρε,
καθ᾽ ἡμῶν ἀθέων,
ἀνδρῶν τὴν συμμορίαν,
τῶν μὴ εἰδότων ψάλλειν·
Ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν τῇ Ἐδέσσῃ ἤθλησαν,
οἱ καλλίνικοι μάρτυρες,
ἡ σεμνὴ Παρθένα,
καὶ Βάσσης τὰ ἔκγονα,
Πιστὸς καὶ Ἀγάπιος,
καὶ ὁ τρίτος Θεόγνιος,

καὶ σχόντες ἐν νῷ,
τῶν τριῶν παίδων τὸν ὕμνον,
ἐβόων γηθοσύνως,
Ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Κατεβρόντησας ἔνδοξε,
τοῖς σοῖς λόγοις καὶ πράξεσι,
τὸν καθηγεμόνα,
τῆς ἀπάτης δαίμονα,
Χρυσῆ καλλιπάρθενε,
ἀνδροπρεπῶς ἀθλήσασα,
ὅθεν καὶ ἡμεῖς,
ἐν συναθροίσει Ἐδέσσης,
ὑμνοῦμέν σε βοῶντες,
Ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὡς Ἐλεοῦσα πρόφθασον,
καὶ παθῶν μου τὸν τάραχον,
σκέδασον δυνάμει,
τῇ σῇ Ἀειπάρθενε,
ὁ γὰρ πάντων Κύριος,
ἐν σοὶ θεόπαις ᾤκησεν·
διὸ Θεοτόκε,
μεγαλύνομεν ὕμνοις,
Υἱόν σου καὶ Δεσπότην,
τὸν Κτίστην Οἰκουμένης,
καὶ σώσαντα τὸν κόσμον,
Κυρία τῶν ἀγγέλων.

Τῆς Θεοτόκου.
Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἴᾶσαι θέλω Μῆτερ,
τὴν μεγαλαυχίαν,
καὶ φιλαυτίας ψυχώλεθρα ἔκγονα,
ταῖς σαῖς πρεσβείαις ἁγνή,
Παρθένε Ἄνασσα.

Ὡς σκέπη ἡ ἁγία,
τὴν ἡμῶν Πατρίδα,
ἀπὸ τοῦ μένους τῆς Ἄγαρ προφύλαξον,
καὶ εἰρηναίαν ζωήν,
δὸς τοῖς ἱκέταις σου.

Ἡ Ἔδεσσα καὶ Πέλλα,
καὶ ἡ Ἀλμωπία,
ὑμνολογοῦσι τὰ θεῖα ἐλέη σου,
καὶ ἐπαινοῦσι τὴν σήν,
ἀγάπην Πάνσεμνε.

Λοιμώδεις ἀσθενείας,
τοῦ νοὸς φοβίας,
καὶ θανασίμους ἰώσεις θεράπευσον,
τῶν προσκυνούντων ἐν πίστει,
τὸ σὸν εἰκόνισμα .

Τῶν Ἁγίων.
Ὠδὴ θ΄. Ἐξέστη Ἐπὶ τούτῳ.

Ἰδοὺ ἡ τῆς Ἐδέσσης Ἐπισκοπή,
ἐν συνάξει ἁγίᾳ τοῖς ᾄσμασι,
χαρμονικῶς,
ἄνδρας καὶ γυναῖκας θεοφιλεῖς,
ἐγκωμιάζει σήμερον,
οὗτοι γὰρ ὡς ἥλιοι φαεινοί,
λαὸν τῶν Ὀρθοδόξων,
τὸν ὄντα ἐν τῷ σκότει,
βίῳ καὶ λόγοις διεφώτισαν.

Ὦ τῶν θαυμασίων σου ἱερά,
τῶν ἐννέα ἁγίων ὁμήγυρις,
τῶν προστατῶν,
τῆς Μακεδονίας τῆς θαυμαστῆς,
τῆς Πέλλης καὶ Ἐδέσσης τε,
καὶ τῆς Ἀλμωπίας γῆς ἱερᾶς,
μὴ παύσητε αἰτοῦντες,
ὑμῶν πολλαῖς πρεσβείαις,
ὑπὲρ ἡμῶν ἀειμακάριστοι.

Ἡ πόλις τῆς Ἐδέσσης παρακαλεῖ,
τοὺς ἐννέα αὐτῆς ἀντιλήπτορας,
ὅπως αὐτῶν,
εὐχαῖς καὶ πρεσβείαις ταῖς ἱεραῖς,
φυλάξωσιν ἀμόλυντον,
ἐκ τῶν μιασμάτων αἱρετικῶν,
κακίας τοῦ Βελίαρ,
καὶ πάσης μαγγανείας,
πιστῶν τὸ πλῆθος τὸ φιλόχριστον.

Θεοτοκίον.

Λυθῆναι τὰ δεσμὰ τῶν ἁμαρτιῶν,
ἀντιβολῶ Ἐλεοῦσα Πανάμωμε,
Μῆτερ ἁγνή,
διὸ ἱκετεύω σε ὁ πτωχός,
τῇ σῇ δυνάμει πρόφθασον,
καὶ τάχει καταδίωξον τὸν ἐχθρόν,
καὶ ῥῆξον τὰς ἁλύσεις,
αὐτοῦ ἐκ τῶν χειρῶν μου,
ἵνα ἀεὶ ὑμνῶ σε Πάναγνε.

Ἐξαποστειλάρια.

Τὸ ἐνδιάτακτον Ἀναστάσιμον ἐκ τῆς Παρακλητικῆς.

Εἶτα τῶν Ἁγίων. Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἐδεσσηνῶν καυχήματα,
τῶν πιστῶν οἱ προστάται,
τῆς Ὀρθοδόξου πίστεως,
ὑποτύπωσις θεία,
ἡ θεοστήρικτος φάλαγξ,
τῶν ἐννέα φωστήρων,
μαρτύρων ἀκροθίνια,
ξυνωρὶς τῶν ποιμένων,
Ἱεραρχῶν,
τοῖς ὑμνολογοῦσιν ὑμῶν τὴν χάριν,
πρεσβείαις πρὸς τὸν Κύριον,
βοηθήσατε πάντες.

Θεοτοκίον τῆς Παρακλητικῆς
τὸ ἐνδιάτακτον τῆς Κυριακῆς τοῦ τυχόντος ἤχου.

Εἰς τοὺς Αἵνους ἱστῶμεν στίχους η΄.
Ἀναστάσιμα δ΄ καὶ τῶν Ἁγίων δ΄.

Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μῆτερ Ἐλεοῦσα Πάναγνε,
Ἐπισκοπείου ἡμῶν,
θησαυρὸς ὁ ἀκένωτος,
ἐξ οὗ ἀρυόμεθα,
τὰ ποικίλα δωρήματα,
τὸ γὰρ σεπτόν σου Κόρη εἰκόνισμα,
καθάπερ βρύσις ὄντως πολύκρουνος,
νοσούντων ἴαμα,
ὤφθη καὶ στερέωμα,
διὸ ᾠδαῖς,
Μῆτερ μακαρίζομεν,
σὲ τὴν ἰάτειραν.

Πάτερ Ἰλαρίων ἔνδοξε,
τῶν Μογλενῶν ὁ πατήρ,
ἀσκητὰ περιάκουστε,
μὴ ἐλλείπῃς πάντοτε,
προστατεύων τὴν ποίμνην σου,
καὶ σὺ Ἐδέσσης μάκαρ Καλλίνικε,
ὑπὲρ ἁπάσης τῆς Μητροπόλεως,
φρόντιζε ἅγιε,
λυθῆναι πρεσβείαις σου,
τὸν σὸν λαόν,
ἀπὸ πάσης μάστιγος,
τοῦ πολεμήτορος.

Μάρτυς Χρυσῆ Καλλιπάρθενε,
ἐν τοῖς ἐσχάτοις καιροῖς,
τὸν τῆς Ἄγαρ παμμίαρον,
υἱὸν ἐξουθένωσας,
τῇ ἀτρέπτῳ ἐνστάσει σου,
καὶ σὺ ὦ Βάσσα μάρτυς πανεύφημε,
σὺν τοῖς υἱοῖς σου νομίμως ἤθλησας,
καὶ σὺ πολύαθλε,
Παρθένα θεότιμε,
ἱκετικῶς,
τῷ Χριστῷ πρεσβεύσατε,
σωθῆναι ἅπαντας.

Μάρτυρες πάντων οἱ πρώτιστοι,
ἐν τοῖς ἁγίοις Χριστοῦ,
ἱερώτατα σφάγια,
ἐθελόθυτα θύματα,
ἀρετῶν καταγώγια,
καὶ σὺ Καλλίνικε ἀξιάγαστε,
σὺν Ἱλαρίωνι τῷ θεόφρονι,
οἱ ἱερώτατοι,
Ἐπίσκοποι Ἅγιοι,
ὑμῶν λιταῖς,
ἐκτενῶς αἰτήσαθε,
σωθῆναι ἅπαντας.

Δόξα Πατρί. Ἦχος πλ.δ΄.

Χαίρετε Ἅγιοι,
πανθαύμαστοι,
τῶν πάλαι ὁσίων καί μαρτύρων,
ὁμόηθοι καί ἰσότιμοι,
Καλλίνικε καὶ Ἱλαρίων,
Ἀρχιθύται Ὀρθόδοξοι,
οἱ μετ’ ἐπιστήμης καὶ χάριτος,
τὸ λογικὸν ποίμνιον καθοδηγήσαντες.
Χαίρετε μάρτυρες πανεύφημοι,
οἱ τὴν γῆν φοινίξαντες,
ὑμῶν τῷ αἵματι,
καὶ μὴ δειλανδρίσαντες,
τοῦ Κυρίου τὴν πίστιν,
ἀθλητικῶς βεβαιώσαντες.
Καὶ τανῦν ὑπὲρ τῆς Ἐδέσσης Μητροπόλεως,
ἐσαεὶ πρεσβεύσατε,
ὡς φύλακες αὐτῆς ἀκατάβλητοι,
σὺν ταῖς λιταῖς τῆς Ἐλεούσης Παρθένου,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις,
Θεοτόκε Παρθένε·
διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος,
ὁ Ἅδης ἠχμαλώτισται,
ὁ Ἀδὰμ ἀνακέκληται,

ἡ κατάρα νενέκρωται,
ἡ Εὔα ἠλευθέρωται,
ὁ θάνατος τεθανάτωται,
καὶ ἡμεῖς ἐζωοποιήθημεν·
διὸ ἀνυμνοῦντες βοῶμεν·
Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν,
ὁ οὕτως εὐδοκήσας,
δόξα σοι.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων
ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς 13ης Νοεμβρίου
(Ἁγίου Χρυσοστόμου).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίρετε ἐννέα παιδαγωγοί,
φρουροὶ τῆς Ἐδέσσης,
καὶ τοῦ βίου οἱ ἀρωγοί,
μῆτερ Ἐλεοῦσα,
καὶ δύο Ἀρχιθύται,
καὶ ἓξ οἱ ἀθλοφόροι,
ἡμῶν καυχήματα.